Ακαδημία Αθηνών / Academy of Athens

*τ α ι μεγάλοισι θυρέτροις· τῶν δὲ Δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς* 12.1 *αἱ γὰρ στεινότεραι π λ ῆ ν τ ο πυρὸς ἀκρήτοιο, αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα· ἐν δὲ μέσῳ τούτων δαίμων ἣ πάντα κυβερνᾷ* Δημόκριτος 254 *οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος π ί μ π λ α ν τ α ι.*

**πίνειν.** Πίνω, drink, Ξενοφάνης 1.17-19 *οὐχ ὕβρις π ί ν ε ι ν ὁπόσον κεν ἔχων ἀφίκοιο οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος. ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ π ι ὼ ν ἀναφαίνει* 22.3 *π ί ν ο ν τ α γλυκὺν οἶνον* Ἵππων 1 *τὰ γὰρ ὕδατα π ι ν ό μ ε ν α πάντα ἐκ τῆς θαλάσσης ἐστίν· οὐ γὰρ δή που τὰ φρέατα βαθύτερα ἢ ἡ θάλασσά ἐστιν ἐξ ὧν π ί ν ο μ ε ν* Δημόκριτος 235.5 *ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ π ί ν ω σ ι ν, αἱ δὲ λῦπαι πολλαί.*

**πίπτειν.** Πέφτω, fall, Ἐμπεδοκλῆς 100.13 *ἀλλά μιν εἴργει ἀέρος ὄγκος ἔσωθε π ε σ ὼ ν ἐπὶ τρήματα πυκνὰ* 104 *ἀραιότατα ξυνέκυρσε π ε σ ό ν τ α* 133.3 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτὸν ἡμετέροις ἢ χερσὶ λαβεῖν, ᾗπέρ τε μεγίστη πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα π ί π τ ε ι.* || (τά) **πεσόντα.** Πυθαγόρειοι C 3 (DK I 463,13) *τὰ δὲ π ε σ ό ν τ α μὴ ἀναιρεῖσθαι,* ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν.

**πιστεύειν 1.** Πιστεύω/ἔχω ἐμπιστοσύνη, believe/trust, Δημόκριτος 67 *μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι π ι σ τ ε ύ ε ι ν* **2.** Πιστεύω/εἶμαι πεπεισμένος, believe/be confident, Ἀρχύτας 3.12 *π ι σ τ ε ύ ο ν τ ε ς ἀμφότεροι διὰ τούτω τὸ ἴσον ἕξειν.*

**πίστις** (ἀντίθ. *ἀπιστίη*) **1.** Γνώση, knowledge, Παρμενίδης 1.30 *χρεὼ δέ σε πάντα πυθέσθαι ... βροτῶν δόξας, ταῖς οὐκ ἔνι π ί σ τ ι ς ἀληθής* 8.12-28 *οὐδέ ποτ' ἐκ μὴ ἐόντος ἐφήσει π ί σ τ ι ο ς ἰσχὺς γίγνεσθαί τι παρ' αὐτὸ ... ἀπῶσε δὲ π ί σ τ ι ς ἀληθής* Ἐμπεδοκλῆς 71.1 *εἰ δέ τί σοι περὶ τῶνδε λιπόξυλος ἔπλετο π ί σ τ ι ς.* || Φιλόλαος A 13 (DK I 402,12) *Π ί σ τ ι ς* γε μὴν καλεῖται (sc. ἡ δεκάς), ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομένοις *π ί σ τ ι ν* βεβαίαν ἔχομεν **2.** Ἐμπιστοσύνη, trust, Ἐμπεδοκλῆς 3.10-13 *μήτε*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*τιν' ὄψιν ἔχων* π ί σ τ ε ι *πλέον ἢ κατ' ἀκουὴν ... μήτε τι τῶν ἄλλων, ὁπόση πόρος ἐστὶ νοῆσαι, γυίων* π ί σ τ ι ν *ἔρυκε* 114.3 *μάλα δ' ἀργαλέη γε τέτυκται ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα* π ί σ τ ι ο ς *ὁρμή* **3.** 'Απόδειξη/τεκμήριο, demonstration/proof, Δημόκριτος 125 *τάλαινα φρήν, παρ' ἡμέων (*sc. *τῶν αἰσθήσεων) λαβοῦσα τὰς* π ί σ τ ε ι ς *ἡμέας καταβάλλεις; πτῶμά τοι τὸ κατάβλημα.*

**πιστός.** 'Αξιόπιστος/βέβαιος, trusted/sure, Παρμενίδης 8.50 *ἐν τῷ σοι παύω* π ι σ τ ὸ ν *λόγον ἠδὲ νόημα ἀμφὶς ἀληθείης.*

**πίστωμα.** 'Αξιόπιστο μήνυμα, trustworthy message, 'Εμπεδοκλῆς 4.2 *ὡς δὲ παρ' ἡμετέρης κέλεται* π ι σ τ ώ μ α τ α *Μούσης, γνῶθι διασσηθέντος ἐνὶ σπλάγχνοισι λόγοιο.*

**πίσυνος.** Πειθήνιος/ὑπάκουος, trusting/obedient, 'Εμπεδοκλῆς 115.14 *τῶν καὶ ἐγὼ νῦν εἰμι, φυγὰς θεόθεν καὶ ἀλήτης, νείκεϊ μαινομένῳ* π ί σ υ ν ο ς.

**πιφαύσκειν.** 'Αποκαλύπτω/ἐκφράζω, make manifest/utter, 'Εμπεδοκλῆς 17.15 *ὡς γὰρ καὶ πρὶν ἔειπα* π ι φ α ύ σ κ ω ν *πείρατα μύθων.* Πρβλ. *λέγειν, φάσκειν, φατίζειν, φράζειν, φαίνειν, δηλοῦν.*

**πλάδη.** Πλάσιμο, shaping, 'Εμπεδοκλῆς 75.2 *τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ πέπηγε, Κύπριδος ἐν παλάμῃσι* π λ ά δ η ς *τοιῆσδε τυχόντα.*

**πλάζεσθαι 1.** 'Εκτινάσσομαι/περιπλανιέμαι, be shaken off/go astray, Παρμενίδης 6.5 *εἰδότες οὐδὲν* π λ ά τ τ ο ν τ α ι 8.28 *γένεσις καὶ ὄλεθρος τῆλε μάλ'* ἐ π λ ά χ θ η σ α ν 'Εμπεδοκλῆς 20.5 *'Ερίδεσσι* π λ ά ζ ε τ α ι *ἄνδιχ' ἕκαστα* 57.2 *γυμνοὶ δ'* ἐ π λ ά ζ ο ν τ ο *βραχίονες.* Πρβλ. *ἀποπλάζεσθαι, πλανᾶσθαι* **2.** Μετακινοῦμαι, move, Δημόκριτος 126 *ὅσα κυματοειδῶς ἀνὰ τὴν πορείαν* π λ ά ζ ε τ α ι.

**πλακτός.** Περιπλάνητος, erring, Παρμενίδης 6.6 *ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσιν ἰθύνει* π λ α κ τ ὸ ν *νόον.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ